νάσου περικύμονος οἰκήσας ἕδραν
τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς, ἵν᾽ ἐλαίας
πρῶτον ἔδειξε κλάδον γλαυκᾶς Ἀθάνα,
οὐράνιον στέφανον λιπαραῖσί τε κόσμον Ἀθήναις,
ἔβας ἔβας τῷ τοξοφόρῳ συναρι-
στεύων ἅμ᾽ Ἀλκμήνας γόνῳ
Ἴλιον Ἴλιον ἐκπέρσων πόλιν ἁμετέραν
τὸ πάροιθεν ὅτ᾽ ἔβας ἀφ᾽ Ἑλλάδος·
ὅθ᾽ Ἑλλάδος ἄγαγε πρῶτον ἄνθος ἀτυζόμε-
νος antistr.
πώλων, Σιμόεντι δ᾽ ἐπ᾽ εὐρείτᾳ πλάταν
ἔσχασε ποντοπόρον καὶ ναύδετ᾽ ἀνήψατο πρυμνᾶν
καὶ χερὸς εὐστοχίαν ἐξεῖλε ναῶν,
Λαομέδοντι φόνον· κανόνων δὲ τυκίσματα Φοίβου
. . πυρὸς φοίνικι πνοᾷ καθελὼν
Τροίας ἐπόρθησε χθόνα,
δὶς δὲ δυοῖν πιτύλοιν τείχη περὶ Δαρδανίας
φονία κατέλυσεν αἰχμά.
μάταν ἄρ᾽, ὦ χρυσέαις str.
ἐν οἰνοχόαις ἁβρὰ βαίνων,
Λαομεδόντιε παῖ,
Ζηνὸς ἔχεις κυλίκων
πλήρωμα, καλλίσταν λατρείαν·
ἁ δέ σε γειναμένα Τροία πυρὶ δαίεται·
ἠιόνες δ᾽ ἅλιαι
ἴαχον· οἷον οἰωνὸς
ὑπὲρ τεκέων βοᾷ,
αἳ μὲν εὐνάτορας, αἳ δὲ παῖδας,

---

800. ἕδρας BCG 801. ἐπικεκλημένας *B* ἱεροῖσιν *B* 802. Ἀθάνα] Musurus et schol., ἀθάνας libri. 803. λιπαραῖσί τε] Seidlerus, λιπαραῖς libri. 804. τῷ om. *B* 805. συναριστεύσων *B* ἅμ᾽ om. BCGb 810. εὐρείταο BCG 812. νεῶν BC 814. τυκίσματα] Musurus, τυκτίσματα BCG κτίσματα b τεκίσματα *B* 815. βοᾷ BCGb 817. παρά *B* 822. λαομεδόντειε *B* 826. κίονες ἅλιαι *B* 829. ἴσχον *B* οἰωνοί *B* 830. τέκνων BCGb τοκέων *B* 831. ἁ δέ *B*